# TEZAUR LITURGIC

## 1 SEPTEMBRIE

## HARALAMBOS BOUSIA

# SLUJBA ANULUI NOU BISERICESC

**ATENA,2010**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 01 ΣΕΠΤΕΜΒΡΙΟΣ ΑΡΧΗ ΤΗΝ ΙΝΔΙΚΤΟΥ & ΕΙΣ ΤΟΝ ΠΑΝΣΟΦΟΝ ΔΗΜΙΟΥΡΓΟΝ

# ΚΑΙ ΚΤΙΣΤΗΝ ΤΟΥ ΣΥΜΠΑΝΤΟΣ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, εἰς τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ψυχή μου δεῦρο εὐλόγει ἀεὶ τὸν Κύριον, Δημιουργὸν τῶν πάντων, ὑλικῶν καὶ ἀΰλων, ἱμάτιον ποδῆρες ὡς ἀληθῶς, φῶς τὸ ἀναβαλλόμενον, καὶ ὡσεὶ δέῤῥιν τὸν ἔναστρον οὐρανόν, καὶ ἀτέρμονα ἐκτείνοντα.

Ψυχή μου δεῦρο εὐλόγει ἀεὶ τὸν Κύριον, μεγαλυνθέντα σφόδρα, ἐν τῇ Δημιουργίᾳ, τῆς κτίσεως ἁπάσης τῆς τὴν Αὐτοῦ, μαρτυρούσης ἀείποτε, σοφίαν ἄμετρον βούλησιν καὶ ἰσχύν, παντοδύναμον Παντάνακτα.

Ψυχή μου δεῦρο εὐλόγει ἀεὶ τὸν Κύριον, στεγάζων ἐν ὄγκοις, θαυμαστῶς ὑδατίνοις, ἁψῖδος ὑπερῷα τῶν οὐρανῶν, καὶ ὡς πνεῦμα φυσίζωον, περιπατοῦντα ἐφ' ἅρματος νοητοῦ, τῶν ἀνέμων Θεὸν Ὕψιστον.

Ψυχή μου δεῦρο εὐλόγει ἀεὶ τὸν Κύριον, ποιήσαντα ἀΰλους, λειτουργοὺς πυρὸς φλόγα, Αὐτοῦ καὶ γῆς τὴν σφαῖραν ἐπ᾽ ἀσφαλῶν, θεμελίων στηρίξαντα, ἵνα εἰς πάντας αἰῶνας μὴ σαλευθῇ, Πλάστην κτίσεως θειότατον.

*Δόξα. Ἦχος β΄.*

Τὸν ἐν σοφίᾳ δημιουργήσαντα τὴν σύμπασαν κτίσιν, παντοδύναμον Λόγον τοῦ Πατρὸς δοξολογήσωμεν, καὶ ἀρνησάμενοι πᾶν γεῶδες καὶ ὑλικὸν φρόνημα βοήσωμεν· ὁ εὐλογῶν τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός Σου, ἴθυνον καὶ ἡμᾶς τὸ πλάσμα τῶν χειρῶν Σου πρὸς νομὰς σωτηρίας, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Δόξα Σοι Πλαστουργέ, ὁ ἐν σοφίᾳ πᾶσαν, δημιουργήσας κτίσιν, καὶ ἐκ μὴ ὄντων πάντα, παραγαγὼν τὰ σύμπαντα.

Στ.: *Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών...*

Δόξα Σοι Ποιητά, νυκτός τε καὶ ἡμέρας, ἡλίου τε σελήνης, καὶ φωταυγῶν ἀστέρων, Θεέ μου ἀναλλοίωτε.

Στ.: *Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου Σου...*

Σὺ εἶ Παμβασιλεύς, εἰς τοὺς ἀτελευτήτους, αἰῶνας διαμένων, καὶ τὴν δοξολογίαν, δεχόμενος τῶν δούλων Σου.

*Δόξα.*

Ἄναρχε θαυμαστέ, Θεοῦ ἁπάντων Λόγε, ὁ σὺν Πατρὶ τῷ θείῳ, καὶ Πνεύματι τὴν κτίσιν, δημιουργήσας δόξα Σοι.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαῖρε Μῆτερ Θεοῦ, ἀεὶ δεδοξασμένη, καὶ κεχαριτωμένη, ὑπὲρ ἡμῶν ἀπαύστως, τῷ Σῷ Υἱῷ πρεσβεύουσα.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἡ ψυχή μου εὐλόγει ἀεὶ τὸν Κύριον, τὸν θαυμαστὸν ἐν τοῖς ἔργοις, Λόγον Θεοῦ καὶ Θεόν, ἐν σοφίᾳ ἐφ' ὑδάτων στερεώσαντα, πᾶσαν τὴν γῆν ἣν θαυμαστῶς, κατεκόσμησε πτηνοῖς, καὶ ἄνθεσιν ἡδυπνεύστοις, καὶ ἣν ἀεὶ ἐποπτεύει, καὶ συντηρεῖ ὡς πολυεύσπλαγχνος.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετὰ τὸν Προοιμιακόν, τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τίς μερόπων δυνήσεται, ἀτενίσαι τὸ πρόσωπον, τὸ ἀστραπηβόλον τοῦ Παντοκράτορος; ὑπάρχει πῦρ γὰρ

ὑπέρφωτον, καὶ ὥσπερ τὸν ἥλιον, οὐ δυνάμεθα ὁρᾶν, κτίσμα ὄντα τοῦ Κτίσαντος, οὕτω Κύριον, καθορᾶν οὐ δυνάμεθα καὶ Κτίστην, χοϊκοῖς ἡμῶν βλεφάροις, τὸν ὑπὲρ ἥλιον λάμποντα.

Ἀνὰ μέσον τοῦ ὕδατος, καὶ τῆς γῆς θέντα ὅριον, ὃ οὐ παρελεύσεται ἀνυμνήσωμεν, καὶ τὰς πηγὰς ἐν ταῖς φάραγξιν, τὸν ἐξαποστείλαντα, πρὸς κατάσβεσιν θηρῶν, τοῦ ἀγροῦ δίψης Κύριον, τὸν πανύμνητον, συναΐδιον Λόγον τοῦ Ὑψίστου, καὶ συνάναρχον τῷ ὄντι, Δημιουργὸν καὶ Παντάνακτα

Ἐν τοῖς θάμνοις καὶ ἄλσεσι, καὶ δρυμοῖς ἀποστείλαντα, πετεινὰ σκηνῶσαι τὰ δόξαν πέμποντα, Αὐτῷ τερπνοῖς μελῳδήμασιν, ἀπαύστως ὑμνήσωμεν, Ποιητὴν τὸν τοῦ παντός, εὐχαρίστως κραυγάζοντες· Ὑπεράγαθε, ὁ ποτίζων ἐκ Σοῦ τῶν ὑπερώων, γῆς τὰ ὄρη πίανόν μου, ψυχὴν ξηράν τε καὶ ἄνικμον.

Χόρτον ἐξανατείλαντα, τοῖς θηρσὶ καὶ τοῖς κτήνεσι, καὶ βοτάνην χόρτου βροτῶν πρὸς κάλυψιν, τῶν ἀναγκῶν μόνον Κύριον, ἐκθύμως δοξάσωμεν, ὡς δωρούμενον ἡμῖν, ἄρτον τὸν ἐπιούσιον, τὸν στηρίζοντα, τὰς καρδίας ἡμῶν καὶ οἶνον πάντας, τὸν εὐφραίνοντα βοῶντες· Προνοητὰ ἡμῶν δόξα Σοι.

Εἰς καιροὺς τὸν ποιήσαντα, τὴν σελήνην δοξάσωμεν, καὶ αὐτοῦ τὸν γνόντα τὴν δύσιν ἥλιον, τὸν ἐν ἀῤῥήτῳ τὰ σύμπαντα, σοφίᾳ ποιήσαντα, καὶ καιροὺς ἐν τῇ Αὐτοῦ, ἐξουσίᾳ τὸν θέμενον, ἀνακράζοντες· πρὸς τὸ θεῖόν Σου θέλημα Οἰκτίρμον,

Πλαστουργὲ καὶ Παντεπόπτα, ἡμῶν τὰ ἔργα κατεύθυνον.

Τὴν εὐρύχωρον θάλασσαν, καὶ μεγάλην ποιήσαντα, ἑρπετῶν τὴν πλήρη δοξολογήσωμεν, Θεὸν τὸν χεῖρα ἀνοίγοντα, ἀεὶ καὶ χρηστότητος, ἐμπιμπλῶντα πᾶσαν γῆν, πολυεύσπλαγχνον Κύριον, πόθῳ κράζοντες· ἀφ' ἡμῶν μὴ τὸ θεῖον πρόσωπόν Σου, ἀποστρέψῃς καὶ ταράχου, ἡμᾶς πληρώσῃς Φιλάνθρωπε.

*Δόξα. Καὶ νῦν. Ἦχος πλ. β΄.*

Ἄσωμεν ᾄσματα αἴνου καὶ δοξολογίας τῷ Κυρίῳ, ἐν τῇ ζωῇ ἡμῶν χριστώνυμοι, καὶ ψάλλομεν τῷ Θεῷ καὶ Κτίστῃ τοῦ σύμπαντος, ἕως ἂν ὑπάρχωμεν. Οὗτος γὰρ ἐπιβλέπει ἐπὶ τὴν γῆν καὶ ποιεῖ αὐτὴν τρέμειν, ἅπτεται τῶν ὀρέων καὶ καπνίζονται, καὶ δύναται πάντας ἀπὸ προσώπου γῆς ἐξαφανίσαι. Φιλεύσπλαγχνος ὅμως ὑπάρχων καὶ φιλάνθρωπος, πάντας θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἐλθεῖν ἀληθείας, ἵνα ζωὴν αἰώνιον κληρονομήσωμεν.

*Γενέσεως τὸ Ἀνάγνωσμα. (Κεφ. Α' 1-19)*

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· *Γενηθήτω φῶς·* καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλὸν καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, *Ἡμέραν* καὶ τὸ σκότος ἐκάλεσε, *Νύκτα·* καὶ ἐγένετο

ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· *Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος·* καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, *Οὐρανὸν* καὶ εἶδεν ὁ Θεός, ὅτι καλὸν καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός· *Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρά·* καὶ ἐγένετο οὕτω. Καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τάς συναγωγὰς αὐτῶν καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηράν, *Γῆν*, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε, *Θαλάσσας*. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· *Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς·* καὶ ἐγένετο οὕτω. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ εἶδεν ὃ Θεός, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη. Καὶ εἶπεν ὁ Θεός· *Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ*

*εἰς ἐνιαυτούς· καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς·* καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω, εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. Καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτός, καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ εἶδεν ὃ Θεός, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη.

*Γενέσεως τὸ Ἀνάγνωσμα. (Κεφ. Α’ 20-31, Β΄1-7)*

Εἶπεν ὁ Θεός· *Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετώμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ·* καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένος αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλά· καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· *Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς*. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη. Καὶ εἶπεν ὁ Θεός· *Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος·* καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος

αὐτῶν. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. Καὶ εἶπεν ὁ Θεός· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.* Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· *Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.* Καὶ εἶπεν ὁ Θεός· *Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστὶν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ πνοὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν.* Καὶ ἐγένετο οὕτω. Καὶ εἶδεν δ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε· καὶ ἰδοὺ καλὰ λίαν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη. Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἣ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε· καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτὴν ὅτι ἐν αὐτῇ κατέπαυσεν

ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι. Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τὴν γῆν καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν, πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

*Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (ΜΒ 15-24, ΜΓ΄29-33)*

Μνησθήσομαι δὴ τὰ ἔργα Κυρίου καὶ ἃ ἑώρακα ἐκδιηγήσομαι· ἐν λόγοις Κυρίου τὰ ἔργα αὐτοῦ. Ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψε καὶ τῆς δόξης αὐτοῦ πλῆρες τὸ ἔργον αὐτοῦ. Οὐκ ἐνεποίησε τοῖς ἁγίοις Κύριος ἐκδιηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ, ἃ ἐστερεώσε Κύριος ὁ Παντοκράτωρ στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν. Ἄβυσσον καὶ καρδίαν ἐξίχνευσε καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη· ἔγνω γὰρ Κύριος πᾶσαν εἴδησιν καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰῶνος, ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ ἐπεσόμενα καὶ ἀποκαλύπτων ἴχνη ἀποκρύφων. Οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα, οὐκ ἐκρύβη ἀπ’ αὐτοῦ οὐδὲ εἷς λόγος. Τὰ μεγαλεῖα τῆς σοφίας αὐτοῦ ἐκόσμησε καὶ ὡς ἔστι πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα· οὔτε προσετέθη οὔτε ἠλαττώθη καὶ οὐ προσεδεήθη οὐδενὸς συμβούλου. Ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητὰ καὶ ὡς σπινθῆρός ἐστι θεωρῆσαι. Πάντα ταῦτα ζῇ καὶ μένει

εἰς τὸν αἰῶνα ἐν πάσαις χρείαις καὶ πάντα ὑπακούει. Πάντα δισσά, ἓν κατέναντι τοῦ ἑνὸς καὶ οὐκ ἐποίησεν οὐδὲν ἐλλεῖπον· ἓν τοῦ ἑνὸς ἐστερέωσε τὰ ἀγαθὰ καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

Φοβερὸς Κύριος καὶ σφόδρα μέγας καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ. Δοξάζοντες Κύριον ὑψώσατε, καθόσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ ἔτι· καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύϊ· μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἐφίκησθε. Τίς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται; Καὶ τίς μεγαλυνεῖ αὐτὸν καθώς ἐστι; Πολλὰ ἀπόκρυφα ἐστι μείζονα τούτων, ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ· πάντα γὰρ ἐποίησεν ὁ Κύριος καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν.

*Λιτή. Ἦχος α΄.*

Δεῦτε λαοὶ εὐλογήσατε καὶ δοξάσατε φωναῖς μελιῤῥύτοις, τὸν εὐλογητὸν καὶ δεδοξασμένον Κύριον, τὸν ἐξαποστείλαντα πηγὰς ἐν φάραγξιν, καὶ ποτίζοντα ὄρη ἐκ τῶν ὑπερώων Αὐτοῦ. Οὗτος γὰρ προνοεῖ ἀπαύστως διὰ τὸ γένος τὸ βρότειον, ὡς προνοεῖ διὰ τὴν τροφὴν τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ διὰ τὸ ποικιλόχρουν καὶ πλούσιον ἔνδυμα, τοῦ ἀγροῦ τῶν κρίνων ὢν πατὴρ φιλόστοργος.

*Ἦχος β΄.*

Τὸν περιπατοῦντα ἐπὶ πτερύγων ἀνέμων, μόνον σοφὸν Δημιουργὸν καὶ Κτίστην τοῦ σύμπαντος, ὡς θεμελιωτὴν τῆς γῆς ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, Κύριον τὸν Θεὸν ἡμῶν εὐσχήμως δοξολογήσωμεν. Οὗτος γὰρ

ἀσινὲς συντηρεῖ τὸ γένος ἡμῶν εἰς τοὺς αἰῶνας, ἐκ τῶν παγίδων τοῦ πτερνιστοῦ τοῦ ἀρχαίου, καὶ βραβεύει ζωὴν τὴν αἰώνιον, τοῖς καλῶς χρωμένοις ἑκάστοτε, τῇ αὐτῶν ἐλευθερίᾳ ὡς εὔσπλαγχνος.

*Ἦχος γ΄.*

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, καὶ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, Φωτοδότης Κύριος τῇ Αὐτοῦ εὐσπλαγχνίᾳ καὶ ἀγαθότητι, ζόφωσιν διαλύει τῆς ἡμῶν κακίας καὶ ματαιότητος, καὶ πρὸς φῶς ἑλκύει τῆς ἀγαθότητος, καὶ ἀΰλων ἐκζητήσεων, τοὺς εἰς Αὐτὸν πιστεύοντας.

*Ἦχος δ΄.*

Αἶνον χαριστήριον πέμψωμεν ἀδελφοί, τῷ θέντι ὅριον ἀνὰ μέσον ξηρᾶς καὶ θαλάσσης, ὃ οὐ παρελεύσονται τὰ ὕδατα, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν, καὶ πιστῶς ἀνακράξωμεν· τὴν θάλασσαν τῶν πειρασμῶν πόῤῥῳ ἡμῶν ἀποδίωξον τάχιστα, καὶ πρὸς ἀπάθειαν ἕλκυσον σωτηριώδη, τοῖς ψαλμοῖς καὶ ὕμνοις δοξάζοντας τὸ κράτος Σου, Δημιουργὲ καὶ ἡμῶν Σῶτερ πάνσοφε.

*Δόξα. Καὶ νῦν. Ὁ αὐτός.*

Μνήσθητι τῆς συναγωγῆς Σου Κύριε, καὶ λύτρωσαι θανάτου αἰωνίου τὴν κληρονομίαν Σου, ἣν ἐκτησω ἀπ᾽ ἀρχῆς καὶ περιεποιήσω, τῷ τιμίῳ Σου αἵματι, ὡς ἄφρονες γὰρ παρωξύναμεν τὸ ὄνομά Σου τὸ ἅγιον, καὶ ὠνειδίσαμέν Σε ἐξ ἀφροσύνης καὶ ζάλης, Δημιουργὲ ἡμῶν πάνσοφε, καὶ Λυτρωτὰ ἀγαθότατε.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν*

Δόξα Σοι πάντων Δημιουργῷ, τῷ ἐν σοφίᾳ κόσμον δημιουργήσαντι, βοῶντες ἐν κατανύξει, ἀναφωνοῦμεν τρανῶς, σὺν Δαβὶδ τῷ θείῳ, προφητάνακτι· τὰ πάντα πλησθήσονται, Σῆς ἀῤῥήτου χρηστότητος, ἀνοίξαντός Σου, χεῖρα Δέσποτα Κύριε, καὶ Σὸν πρόσωπον, τὸ σεπτὸν ἀποστρέψαντος, πάραυτα ταραχθήσονται.

Στ.: *Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών...*

Δόξαν τῷ χορηγῷ ἀγαθῶν, δαψιλεστάτων ὑγείας δυνάμεως, εἰρήνης ἰσχύος ἄμφω, καὶ ἀκραιφνοῦς χαρμονῆς, μόνῳ Ζωοδότῃ, Παντοκράτορι, ὀφείλομεν ἅπαντες, οἱ βροτοὶ πέμπειν πάντοτε, καὶ ἀνακράζειν· οἰκοσύστημα σέβεσθαι, ὃ αἱ χεῖρές Σου, Πλαστουργέτα ἐποίησαν, πάντας Σοὺς δούλους δίδαξον, χλωρίδα τὴν πάντερπνον, πανίδα χρησιμοτάτην, καὶ τὸν ἀέρα τὸν εὔκρατον, καὶ ὕμνον Σοι πέμπειν, καθ' ἑκάστην μελιῤῥύτῳ, φωνῇ πανάγαθε.

Στ.: *Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου Σου...*

Χαίρειν διηνεκῶς ἀδελφοί, ἀδιαλείπτως καθ' ἡμέραν προσεύχεσθαι, ἀρήγειν χειμαζομένοις, καὶ βοηθεῖν τοῖς δεινῶς, τρυχομένοις Παῦλος ὥσπερ ἔλεγεν, ὀφείλομεν ἅπαντες, καὶ δοξάζειν τὸν Κύριον, ἐν πάσῃ ὥρᾳ, τὸν ἡμῖν χαριζόμενον, τὰ δωρήματα, τῆς Αὐτοῦ ἀγαθότητος, πέμπει γὰρ ὄμβρον ἄφθονον, ὡς μόνος φιλάνθρωπος, ἐπὶ δικαίων χορείας, καὶ τῶν ἀδίκων συστήματα, καὶ πάντας ἐνδύει, τοὺς ἀγροὺς τῆς γῆς λειρίων, τερπνῶν ἐνδύματι.

*Δόξα. Καὶ νῦν. Ἦχος πλ. δ΄.*

Τὸν ὁροφουργὸν τῆς παμφώτου οὐρανίου ἁψῖδος, καὶ πάνσοφον Δημιουργὸν πάσης τῆς κτίσεως, οἱ πιστοὶ δοξολογήσωμεν κράζοντες· ἱλαρώτατε δοτὴρ πάντων τῶν ἀγαθῶν, εὐλόγησον τὰ ἔργα τῶν χειρῶν τῶν δούλων Σου, καὶ ἡμᾶς ἐκλύτρωσαι τῶν δεινῶν τῆς κολάσεως.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Ἡ ψυχή μου εὐλόγει ἀεὶ τὸν Κύριον, τὸν θαυμαστὸν ἐν τοῖς ἔργοις, Λόγον Θεοῦ καὶ Θεόν, ἐν σοφίᾳ ἐφ᾽ ὑδάτων στερεώσαντα, πᾶσαν τὴν γῆν ἣν θαυμαστῶς, κατεκόσμησε πτηνοῖς, καὶ ἄνθεσιν ἡδυπνεύστοις, καὶ ἣν ἀεὶ ἐποπτεύει, καὶ συντηρεῖ ὡς πολυεύσπλαγχνος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α΄ στιχολογίαν,*

*κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Θεὸν Δημιουργόν, τὸν σοφὸν καὶ δοτῆρα, ἁπάντων ἀγαθῶν, ἱλαρὸν δεῦτε ὕμνοις, δοξάσωμεν κράζοντες· ὁ τὸ Ἅγιον Πνεῦμά Σου, πέμπων πάντοτε, ἀνακαινίζειν τὸν κόσμον, ἀνακαίνισον, καὶ Σοῦ ἀχρείου ἱκέτου, τὸ πρόσωπον Δέσποτα.

*Δόξα. Καὶ νῦν. Τὸ αὐτό*

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*
Ἡ ψυχή μου Κύριον, ἀεὶ εὐλόγει, τὸν δημιουργήσαντα, ἐκ τοῦ μὴ ὄντως θαυμαστῶς, τὰ ὁρατὰ καὶ ἀόρατα, καὶ ἀναφώνει· Θεὲ ἡμῶν δόξα Σοι.
*Δόξα. Καὶ νῦν. Τὸ αὐτό*

*Μετὰ τὸν Πολυέλεον,*
*κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*
Φῶς ζωοπάροχον, δημιουργήσαντα, καὶ τὴν οὐράνιον, ἀψῖδα κτίσαντα, διαχωρίσαντα ξηρὰν καὶ ὕδατα τῆς θαλάσσης, καὶ τὰ κτήνη ἅπαντα καὶ τὰ ἄνθη ποιήσαντα, Ποιητὴν δοξάσωμεν τῶν ἁπάντων καὶ Κύριον, κραυγάζοντες φωνῇ στεντορείᾳ· Δόξα Θεῷ τῷ τρισαγίῳ.
*Δόξα. Καὶ νῦν. Τὸ αὐτό*

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον: *Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών...*
Στ.: *Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου Σου...*

*Εὐαγγέλιον κατὰ Ματθαῖον (Κεφ. στ΄ 22-33)*
*(Ζήτει τῇ Γ΄ Κυριακῇ τοῦ Ματθαίου)*
Εἶπεν ὁ Κύριος· Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστί, τὸ σκότος πόσον; Οὐδεὶς

δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τὶ φάγητε καὶ τὶ πίητε, μηδὲ τῷ σώματι ὑμῶν τὶ ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τοῦ ἐνδύματος; Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ἀποθήκας καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν: Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει. Λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. Εἰ δὲ τὸ χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; Μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα; Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρήζετε τούτων ἁπάντων. Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ὁ Ν΄ ψαλμός.

Δόξα: *Πάτερ Λόγε Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*
Ὁ παντοδυνάμῳ Σου λόγῳ, πᾶσαν τὴν κτίσιν συστησάμενος, καὶ ἐν σοφίᾳ ποιήσας κόσμον ὁρατόν τε καὶ ἀόρατον, ἀξίωσον ἡμᾶς ἀγαπᾶν Σε, θαυμάζειν καὶ μελετᾶν τῶν χειρῶν Σου τὰ ἔργα, καὶ σέβειν ἄχρι τέλους τὸν αὔλειον χῶρον, ὃν ἔδωκας ἡμῖν πρὸς διατροφὴν καὶ ἀπόλαυσιν.

Εἶτα ὁ Κανὼν τοῦ Κυρίου, οὗ ἡ Ἀκροστιχίς: *Δημιουργὲ τοῦ σύμπαντος, δόξα Σοι. Χ. Μ. Μπ.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.*

Δεσπότην καὶ Κύριον τοῦ παντός, δοξάσωμεν πάντες, ὡς δοτῆρα τῶν ἀγαθῶν, ἡμῶν καὶ βοήσωμεν· Παντάναξ, Δημιουργὲ καὶ πάσης κτίσεως δόξα Σοι.

Ἡμῶν ἔργα Λόγε Θεοῦ χειρῶν, εὐλόγει καὶ σῶζε, ἐκ θανάτου τοῦ ζοφεροῦ, τοὺς Σὲ ἐκτενῶς δοξολογοῦντας, μόνε βροτῶν δήμους σῴζειν δυνάμενε.

Μελίσμασι στέφων Σε μελιχροῖς, στερέωσον κράζω, ἐπὶ πέτραν με ἐντολῶν, Σῶν ἄσειστον Κύριε Παντάναξ, ὅτι οὐκ ἔστι πλήν Σου Σῶτερ Ἅγιος.

*Θεοτοκίον.*

Ἰσχύος με πλῆσον Μῆτερ Θεοῦ, ὁδεῦσαι τὴν τρίβον, ὁλοθύμως τὴν σωστικήν, τὸν ἔργα θαυμάζοντα Υἱοῦ Σου, καὶ προσδοκῶντα νεκρῶν ἐξανάστασιν.

*ᾨδὴ γ΄. Οὐρανίας ἀψῖδος.*

Ὁ τοῖς κτήνεσι χόρτον καὶ τοῖς βροτοῖς ἥμερον, χλόην ἐκβλαστάνων ἀφθόνως, Ἅγιε Κύριε, ἄρτον τοῦ

ἐξαγαγεῖν, ἐκ γῆς καρδίας ἀνθρώπων, πάντων τὸν στηρίζοντα, εἶ παντευλόγητος.

Ὑμνωδίαις ἀπαύστοις δοξολογῶν Κύριε, Σὲ τὸν Ποιητὴν τῆς ἡμέρας, ἐν ᾗ ἐργάζεσθαι, ἕως ἑσπέρας καλῶς, πρὸς κτῆσιν ἐπιουσίου, ἄρτου τὸ μερόπειον, γένος προσέταξας.

Ῥᾶνον πάντας Σοὺς δούλους, μύροις τερπνοῖς Κύριε, τῶν εὐλογιῶν Σου ὁ λόγῳ, παντοδυνάμῳ Σου, δημιουργήσας τὴν γῆν, μετὰ πτηνῶν καὶ ἀνθέων, Λόγε προαιώνιε, τοῦ Παντοκράτορος.

*Θεοτοκίον.*

Γῆθεν πρὸς αἰωνίους νομὰς σεμνὴ Δέσποινα, κόσμον ἡ μετάγουσα πάντα, κλῖμαξ ὡς ἄϋλος, κατεύθυνόν με σαφῶς, πρὸς ἐπιγνώσεως ὕψος, ἵνα σέβω αὔλειον, χῶρον τοῦ οἴκου μου.

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Τὸν ἐκτρέφοντα, στρουθία πάντα, καὶ ἐνδύοντα, ἀγροῦ τὰ κρίνα, Ποιητὴν καὶ Πλάστην κόσμου δοξάσωμεν, τὸν δι' ἡμᾶς μεριμνῶντα ἀείποτε, καὶ ἐπὶ πάντας βροχὴν ἀποστέλλοντα, τοὺς ἀδίκους τε καὶ δήμους δικαίων μέλψωμεν, βοῶντες· ὑφηλίου Κτίστα δόξα Σοι. *Δόξα. Καὶ νῦν. Τὸ αὐτό.*

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἐν σοφίᾳ ἐποίησας, θάλασσαν μεγάλην τε καὶ εὐρύχωρον, πλοῖα ἣν διαπορεύονται, Κυβερνῆτα κόσμου ὅνπερ ἔπλασας.

Τροφοδότα αἰώνιε, πετεινῶν χερσαίων κτηνῶν Ὑπέρθεε, καὶ θαλάσσης ζώων πρόσδεξαι, αἴνεσίν μου τήνδε ὡς θυμίαμα.

Ὁ ποτίζων ἀείποτε, ξύλα τοῦ πεδίου ἅπερ ἐφύτευσας, ὑετὸν ὑψόθεν πέμψον μοι, τοῦ πιᾶναι ἄνικμον καρδίαν μου.

*Θεοτοκίον.*

Ὑπερύμνητε Δέσποινα, ἡ τῇ οἰκουμένῃ ἐξανατείλασα, τῆς χαρᾶς ἡμῶν τὸν πρόξενον, Ἰησοῦν Χριστὸν ὄντως δεδόξασαι.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Σκέπεις ἀκλινῶς, τὸ Σὸν πλάσμα Πολυέλεε, καὶ ἀρήγεις ὡς ἀνύστακτος πατήρ, τοῖς δοξάζουσι τὸ κράτος Σου ἑκάστοτε.

Ὕψωσον τὸν νοῦν, τῶν μερόπων πρὸς ἐξύμνησιν, τῶν Σῶν ἔργων παντοδύναμε Θεέ, καὶ ἡμῶν σαρκίου πάθη ἀποκοίμισον.

Μόνε ἀγαθέ, Ποιητὰ ἁπάσης κτίσεως, χεῖρα θείαν Σου ἀνοίγων ἐμπιμπλᾷς, εὐφροσύνης καὶ χρηστότητος τὰ σύμπαντα.

*Θεοτοκίον.*

Παῦσον τὰς ὁρμάς, τῶν παθῶν ἡμῶν Μητρόθεε, καὶ τὰ πύρινα τὰ βέλη τοῦ ἐχθροῦ, καθ’ ἡμῶν ἀεὶ κινούμενα κατάσβεσον.

*Ὠδὴ στ΄. Τὴν δέησιν.*

Ἀπόστρεψον, τὸ σεπτόν Σου πρόσωπον, ἀπ᾽ ἐμῶν ἁμαρτιῶν τῶν ἀπείρων, καὶ τῆς ψυχῆς μου τὸ τάραχον παῦσον, Δημιουργὲ καὶ Εἰρήναρχε Κύριε, ἵνα λαμπρῶς δοξολογῶ, Σὴν ἀνύστακτον πρός με συμπάθειαν.

Νῦν ᾄδω Σοι, τῷ τῆς γῆς εὐστάθειαν, κανονίσαντι ἀεὶ κινουμένης, ἰλλιγιώδει ταχύτητι ὄντως, Δημιουργῷ καὶ Κυρίῳ τοῦ σύμπαντος, κραυγάζων· δόξα Σοι Θεῷ, τῷ πανσόφως τὰ σύμπαντα πήξαντι.

Τὸν θέμενον, ἐν Αὐτοῦ Παντάνακτα, ἐξουσίᾳ τοὺς καιροὺς ἀσιγήτως, δοξολογήσωμεν Κτίστην τῶν πάντων, Λόγον Θεοῦ τῷ Πατρὶ καὶ τῷ Πνεύματι, συνάναρχον ὡς ἀληθῶς, τὴν Αὐτοῦ εὐλογίαν αἰτούμενοι.

*Θεοτοκίον.*

Ὁλόφωτον, τοῦ Ὑψίστου σκήνωμα, ἀπειρόγαμε Παρθένε Μαρία, Σὲ καταγγέλλοντες ἔμψυχον οἶκον, καὶ Κιβωτὸν τοῦ Θεοῦ ἀχειρότευκτον, βοῶμεν· δίδαξον ἡμᾶς, τὴν περίγειον σέβειν ἀείποτε.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὁ τῇ σοφίᾳ τῇ ἀῤῥήτῳ Σου τὰ σύμπαντα, δημιουργήσας θαυμαστῶς Παντάναξ Κύριε, τὴν σελήνην τοὺς ἀστέρας ἡλίου σφαῖραν, τὰ πτηνὰ τὰ ἑρπετὰ καὶ τὰ θαλάσσια, κήτη ἅμα χλόην δένδρα τε καὶ λείρια, σκέπε ἅπαντα ὑπὸ σκέπην πτερύγων Σου.

*Ὁ Οἶκος.*

Ὁ ἐκ τοῦ μὴ ὄντως εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, καὶ διαχωρίσας τὴν ξηρὰν ἀπὸ τῶν ὑδάτων, ὑπερευλογημένος Δημιουργὸς καὶ Κτίστης τοῦ σύμπαντος, σήμερον ἐξαιρέτως δοξάζεται ὡς σοφὸς καὶ παντοδύναμος Κύριος. Αἶνον οὖν μεγαλοπρεπῆ Αὐτῷ προσάγοντες, καὶ τὰ ἔργα τῶν χειρῶν Αὐτοῦ μεγαλύνοντες πιστῶς κραυγάζομεν· Σκέπε Κύριε ἅπαντας ὑπὸ σκέπην πτερύγων Σου.

*Συναξάριον*

*Μὴν Σεπτέμβριος, ἔχων ἡμέρας λ΄.*

*Ἡ ἡμέρα ἔχει ὥρας ιβ΄, καὶ ἡ νὺξ ὥρας ιβ΄.*

Τῇ Α΄ τοῦ αὐτοῦ Μηνός, ἀρχὴ τῆς 'Ινδίκτου, ἤτοι τοῦ νέου ἔτους καὶ εὐχαριστήριον δοξολογίαν ἀναπέμπομεν τῷ Δημιουργῷ καὶ Κτίστῃ τοῦ σύμπαντος, μόνῳ σοφῷ Θεῷ ἡμῶν.

*Ἴνδικτον ἡμῖν εὐλόγει νέου χρόνου,*
*ὦ καὶ παλαιὲ καὶ δι᾽ ἀνθρώπους νέε.*
*Εὐλόγει ψυχή μου, ἀεὶ τὸν Κύριον,*
*τὸν Δημιουργὸν καὶ Κτίστην τοῦ σύμπαντος.*

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Σῶν κτισμάτων τὸ σύμπαν ἐπληρώθη Παντάναξ σοφὲ καὶ ἄοκνε, καὶ ζώων ἀμετρήτων, μικρῶν τε καὶ μεγάλων, ἡ εὐρύχωρος θάλασσα, αἰνοῦμεν οὖν δόξαν Σήν, Δημιουργὲ ἀπαύστως.

Δόξαν εἰς τοὺς αἰῶνας πέμπομέν Σοι τῷ ἄρτον ἐκ γῆς βλαστήσαντι, καὶ οἴνῳ τὰς καρδίας, εὐφραίνοντι τοῦ κόσμου, ἀρχηγέτῃ τοῦ σύμπαντος, καὶ μόνῳ Δημιουργῷ, πανσόφῳ καὶ ἁγίῳ.

Ὁ τῷ λόγῳ Σου μόνον συστησάμενος πᾶσαν τὴν κτίσιν Κύριε, Πατρὸς ἀνάρχου Λόγε, Θεέ μου Ζωοδότα, δαψιλῶς Σῆς χρηστότητος, ἐνιαυτοῦ τοῦ καινοῦ, τὸν στέφανον εὐλόγει.

*Θεοτοκίον.*

Ξένως ἡ τὸν Δεσπότην σωματώσασα Λόγον Θεοῦ καὶ Κύριον, δεσποτικῆς ξενίας, Παρθένε καὶ τραπέζης, ἀθανάτου ἀξίωσον, τὸν ὕμνοις σοῦ τὸν Υἱόν, δοξάζοντα τὸν θεῖον.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἄσωμεν πάντες, τῷ τοῦ Θεοῦ Θεῷ Λόγῳ, χαριστήριον αἶνον τὰ πάντα, κτίσαντι ἐν ἄκρᾳ, ἀῤῥήτῳ τε σοφίᾳ.

Στρουθίων σμῆνος, καὶ ἑρπετῶν τῆς θαλάσσης, τὸν ποιήσαντα πλῆθος ἐν ὕμνοις, Κύριον τῶν ὅλων, δοξάσωμεν εὐσχήμως.

Ὁ ἐπιβλέπων, ἐπὶ τὴν γῆν οὐρανόθεν, καὶ ποιῶν αὐτὴν τρέμειν τὴν ὥραν, τρέμοντα θανάτου, ἐλέησον Σὸν δοῦλον.

*Θεοτοκίον.*

Ἵλεων Μῆτερ, Θεοῦ ἀπέργασαι τάχος, τὸν Υἱόν Σου ἡμῖν Θεοτόκε, τοῖς δοξολογοῦσιν, Αὐτοῦ τὰ μεγαλεῖα.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Χειρῶν Σου παντεπόπτα, ἔργα δίδαξόν με, Σὸν δοῦλον σέβειν ἃ πάντα ἐποίησας, πρὸς χαρμονὴν τῶν ἀνθρώπων καὶ ἀγαλλίασιν.

Μὴ παύσῃ ἐποπτεύων, πλάσμα τῶν χειρῶν Σου, τὸ Σὲ δοξάζον ἀεὶ Παντοδύναμε, Λόγε Πατρὸς ἀϊδίου Θεὲ καὶ Κύριε.

Μεγάλυνον ψυχή μου, κράτος τοῦ Δεσπότου, Δημιουργοῦ καὶ ἐπόπτου τοῦ σύμπαντος, τοῦ δι᾽ ἡμᾶς προνοοῦντος σοφῶς ἀείποτε.

*Θεοτοκίον.*

Παρθένε Θεοτόκε, Κεχαριτωμένη, τοὺς τὸν Υἱόν Σου ἐκθύμως δοξάζοντας, ὡς φυτουργὸν πάσης κτίσεως ῥῦσαι θλίψεων.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Θεὲ ἡμῶν καὶ Κύριε, Τριὰς ἡ ὁμοούσιος, Δημιουργὲ τῶν ἁπάντων, καὶ Παντοκράτορ Σοὺς δούλους, εὐλόγει καὶ διάσωζε, ἐκ βλάβης τοῦ ἀλάστορος, καὶ ἐν εἰρήνῃ πάντοτε, φύλαττε καὶ ὁμονοίᾳ, τοὺς Σὲ δοξάζοντας πόθῳ. *(γ΄)*

*Αἶνοι. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.*

Αἶνον χαριστήριον, Σοὶ ἐξυφαίνομεν Δέσποτα, Ποιητὰ πάσης κτίσεως, Θεὲ προαιώνιε, τῶν πιστῶν χορεῖαι, καὶ ἀναβοῶμεν· πανευσθενὲς Δημιουργέ, ἀναβαλλόμενος ὡς ἱμάτιον, φῶς ἄῤῥητον

σκοτόμαιναν, παθῶν ἡμῶν διασκέδασον, καὶ πρὸς φῶς ἡμᾶς ἕλκυσον, Σῆς πολλῆς ἀγαθότητος.

Πρύτανις τοῦ σύμπαντος, καὶ Παντοκράτωρ πανάγαθος, πέλων Κύριε πάνσοφε, Μονὰς τρισυπόστατε, καὶ μία Θεότης, ἡ μεγαλυνθεῖσα, ἐν ἔργοις θείων Σου χειρῶν, δεικνῦσι πᾶσι μεγαλοπρέπειαν, καὶ πανσοφίαν τάχιστα, κλῖνον ἡμῖν οὖς εὐήκοον, καὶ παράσχου ὑγείαν, καὶ εἰρήνην τοῖς δούλοις Σου.

Τὸν ἀναβαλλόμενον, φῶς ὡς ἱμάτιον ἄδυτον, καὶ ὡς δέῤῥιν ἐκτείνοντα, ἀψῖδα οὐράνιον, δεῦτε αἱ χορεῖαι, γηγενῶν ἐκθύμως, δοξολογήσωμεν λαμπρῶς, τὸν πρὸ αἰώνων Θεὸν καὶ Κύριον, βοῶντες· ἐνυπόστατε, Ἰσχὺς Σοφία καὶ Δύναμις, ἡ τὸν κόσμον συνέχουσα, σῶσον Σὲ τοὺς δοξάζοντας.

Δόξα τῷ στεγάζοντι, τὰ ὑπερῷα ἐν ὕδασι, τὰ Αὐτοῦ Παντοκράτορι, καὶ νέφη ἐπίβασιν, τὴν Αὐτοῦ τιθέντι, καὶ περιπατοῦντι, ἐπὶ πτερύγων ἀληθῶς, ἀνέμων πάντες πιστῶς κραυγάζοντες, βοῶμεν· πᾶσιν δώρησαι, χαρὰν ὑγείαν δύναμιν, προκοπὴν καὶ μετάνοιαν, ἀκατάληπτε Κύριε.

*Δόξα. Καὶ νῦν. Ἦχος πλ. α΄*

Τὸν ἐπὶ θρόνου χερουβικοῦ καθεζόμενον, ὑπ' Ἀγγέλου κυκλούμενον, καὶ ἀπαύστως ὑπ' αὐτῶν δοξολογούμενον, Δημιουργὸν καὶ Κτίστην τοῦ σύμπαντος, καθηκόντως οἱ πιστοὶ δοξολογήσωμεν κράζοντες· τείχισον ἡμᾶς ἁγίοις Σου Ἀγγέλοις, ἵνα τῇ παρεμβολῇ αὐτῶν φρουρούμενοι, καταντήσωμεν εἰς

τὴν ἐπίγνωσιν τῆς ἀπροσίτου Σου δόξης, Δωρεοδότα παντὸς ἀγαθοῦ, καὶ Λυτρωτὰ τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

**ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τοῦ Κυρίου ἡ γ΄ καὶ στ΄ ᾠδή.

Ἀπόστολος. Πρὸς Τιμόθεον Α΄ Ἐπιστολῆς Παύλου (Κεφ. β΄, 1-7): *Τέκνον Τιμόθεε, παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις προσευχάς...*

Εὐαγγέλιον, κατὰ Λουκᾶν (Κεφ. δ΄, 16-22): *Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος...*

Κοινωνικόν: *Εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός Σου...*

*Μεγαλυνάριον.*

Ἄδοντες καὶ ψάλλοντες τῷ Θεῷ, τῷ δωρεοδότῃ, καὶ πανσόφῳ Δημιουργῷ, δίδαξον βοῶμεν, τὰ ἔργα τῶν χειρῶν Σου, ἡμᾶς ἀπαύστως σέβειν, εὔσπλαγχνε Κύριε.

